## ΑΡΧΑΙΟΤΡΟΠΟΙ ΣΤΙΧΟΙ

### ΠΗΛΙΟΝ

*Μυρίαις θάλλουσιν ἄνω φάραγγες*
*μηλέαις, δρυμῶν δὲ βρύουσιν ὄχθαι,*
*πίδακες γὰρ πανταχόθεν χέονται*
*ζῳοδότειραι.*

*Εἴκοσιν καὶ τέτταρές εἰσι κῶμαι,*
*ὧν ἑκάστη τὴν πλάτανον μεγίστην*
*οἶδ᾽ ἔχουσ᾽, υἱοῖς δὲ πατήρ· «ὁ Χείρων*
*τήνδ᾽ ἐφύτευσεν».*

*Εἴθε μοι πρόφρων ὀπάσειε Μοῦσα,*
*οἷ᾽ ἀηδὼν Τσαγγαράδας ἐν ὕλῃ*
*τόν τ᾽ ἔρωθ᾽ ὕμνησεν ἔαρ τ᾽ ἐραστόν,*
*μυθολογεῦσαι!*

*Πολλὰ Πηλιῶτιδ᾽ ἐπαινέσαντα*
*εἴ μ᾽ ἐρωτᾷς· τοῦ δὲ χατεῖς μάλιστα;*
*«πίδακος πιεῖν ἅμα τῇ γυναικὶ*
*πῶμ᾽ ἀκέραιον·»*

## ΕΠΙΓΡΑΜΜΑΤΑ

### ᾿Αφιέρωσις*

*᾿Ετύμως φιλοῦσι γνησίαν τὴν ῾Ελλάδα*
*τήνδ᾽ ἐκλογὴν δίδωμ᾽ ἐμῶν ποιημάτων.*

### ῾Ο Goethe περὶ τῆς ῾Ελληνικῆς γλώσσης

*Πινδάρου ἢ Φλάκκου γλῶσσαν ὀνομάζετε νεκράν;*
*οὐ γέγον᾽ ἐκ κείναιν, ᾧ βιοῖ ἡμετέρα;*

### Φιλήμων καὶ Βαυκὶς

*Τήνδ᾽ ηὗρον καλύβην οἴκων κάλλιστον ἁπάντων,*
*ψυχὴ τῆς καλύβης Βαυκὶς ἔφυ γὰρ ἐμή.*

*Eines weiss ich, diese Hütte*
*Ist das schönste aller Häuser,*
*Denn die Seele dieser Hütte*
*Ist ja Baucis, meine Frau.*

---

* ῾Η ἀφιέρωσις ἐτέθη εἰς τὸν τόμον 218 σελίδων τῶν εἰς ἀρχαίαν ῾Ελληνικὴν ποιημάτων του, τὸν ὁποῖον ἐξέδωκε τὸ 1986 κατὰ προτροπὴν τῶν Γερμανῶν συναδέλφων του.

# Ο ΦΙΛΛΕΛΗΝ

*Κακηγορεῖς μ', ἐγῷδα*
*ὅτι μαίνομαι σεβίζων*
*Ἕλληνας οὐκέτ' ὄντας,*
*πάλαι, πάλαι θανόντας*
*γραφάς τε παμπαλαίους,*
*παρορῶν τὰ νῦν παρόντα.*
*«Οἵ δ' οὔποτ' ἦσαν, ὑμνεῖς*
*θεούς τε καὶ θεαίνας*
*μάτην εἰδωλολατρῶν...».*

*Σύμφημι μὲν σέβεσθαι*
*ἥδιστα τοὺς Ὁμήρους,*
*τοὺς Φειδίας τε πάντας*
*χὠμοτρόπους Σόλωνος.*
*Ἀγαπᾷ δὲ καρδία μου,*
*ὅτων χρόνων ἂν ὦσιν,*
*τοὺς γνησίους Ἕλληνας*
*Ἑλληνίδας τ' ἀληθεῖς*
*ὁμῶς, σάφ' ἴσθ' ἑκάστους.*

*Ἔστ' ἂν δ' ἴδω Σοφοκλεῖς*
*νέους τε καὶ Πλάτωνας*
*καινούς τε Παρθενῶνας,*
*στέργειν μ' ἔα παλαιοῖς.*

*Οὓς δ' οὐ φῂς γενέσθαι*
*θεούς τε καὶ θεαίνας,*
*εἴτ' ἦσαν εἴτ' οὐκ ἦσαν,*
*ἐκ τῶν καρπῶν κρίνωμεν.*

Wilhelm Kuchenmüller — Stuttgart